ΕΡ. τίς; οὐδὲν οἶδα μᾶλλον, ἢν σὺ μὴ λέγῃς.
ΗΛ. τλήμων Ὀρέστης μὴ θανεῖν, ἐμοῦ θ᾽ ὕπερ.
ΕΡ. ἐπ᾽ ἀξίοισί τἄρ᾽ ἀνευφημεῖ δόμος.
ΗΛ. περὶ τοῦ γὰρ ἄλλου μᾶλλον ἂν φθέγξαιτό τις;
ἀλλ᾽ ἐλθὲ καὶ μετάσχες ἱκεσίας φίλοις,
σῇ μητρὶ προσπεσοῦσα τῇ μέγ᾽ ὀλβίᾳ,
Μενέλαον ἡμᾶς μὴ θανόντας εἰσιδεῖν.
ἄγ᾽, ὦ τραφεῖσα μητρὸς ἐν χεροῖν ἐμῆς,
οἴκτειρον ἡμᾶς κἀπικούφισον κακῶν.
ἴθ᾽ εἰς ἀγῶνα δεῦρ᾽, ἐγὼ δ᾽ ἡγήσομαι·
σωτηρίας γὰρ τέρμ᾽ ἔχεις ἡμῖν μόνη.
ΕΡ. ἰδού, διώκω τὸν ἐμὸν ἐς δόμους πόδα.
σώθηθ᾽ ὅσον γε τοὐπ᾽ ἔμ᾽. ΗΛ. ὦ κατὰ στέγας
φίλοι ξιφήρεις, οὐχὶ συλλήψεσθ᾽ ἄγραν;
ΕΡ. οἲ ἐγώ· τίνας τούσδ᾽ εἰσορῶ; ΟΡ. σιγᾶν χρεών·
ἡμῖν γὰρ ἥκεις, οὐχὶ σοί, σωτηρία.
ΗΛ. ἔχεσθ᾽ ἔχεσθε· φάσγανον δὲ πρὸς δέρῃ
βαλόντες ἡσυχάζεθ᾽, ὡς εἰδῇ τόδε
Μενέλαος, οὕνεκ᾽ ἄνδρας, οὐ Φρύγας κακοὺς
εὑρὼν ἔπραξεν οἷα χρὴ πράσσειν κακούς.

ΧΟ. ἰὼ ἰὼ φίλαι, stroph.
κτύπον ἐγείρετε, κτύπον καὶ βοὰν

1333. Zu 1183.

1335. ἀνευφημεῖ wie Soph. Trach. 783 ἅπας δ᾽ ἀνηυφήμησεν οἰμωγῇ λεώς s. v. a. ἀνῴμωξεν, Plat. Phaed. p. 60 A ἀνηυφήμησε s. v. a. ᾤμωξεν, ἐκώκυσεν.

1339. εἰσιδεῖν, περιιδεῖν. Vgl. 746.

1341. Vgl. El. 72 μόχθου ᾽πικουφίζουσαν (Gen. der Trennung).

1342. εἰς ἀγῶνα doppelsinnig: εἰς ἀγῶνα λόγων — εἰς ἀγῶνα θανάτου (Schol.).

1343. τέρμα σωτηρίας ἔχεις (hast die letzte Entscheidung, gibst den Ausschlag) ist von Elektra auch anders gemeint, als es Hermione versteht. Vgl. 1348. Zu τέρμα vgl. Hik. 617 κακῶν δ᾽ ἀναψυχὰς θεοὶ βροτοῖς νέμουσι, πάντων τέρμ᾽ ἔχοντες αὐτοί.

1344. διώκω πόδα (beschleunige den Schritt) wie Äsch. Eum. 406 ἔνθεν διώκουσ᾽ ἦλθον ἄτρυτον πόδα.

1345. σώθητε, nicht σώθηθι: „was in meinen Kräften steht, soll geschehen um euch zu retten". Mit diesen Worten eilt Hermione voraus. Den folgenden Ruf derselben wie den weiteren des Orestes hört man aus dem Innern. Elektra bleibt am Eingang stehen.

1352. ἔπραξεν (in die Lage gekommen ist) οἷα πράσσειν wie 660 ἐμοῦ πράσσοντος ὡς πράσσω τὰ νῦν. Vgl. 79. — Elektra ab ins Haus.

1353—1548 an Stelle eines Stasimon ein Strophenpaar, wel-